στον σχεδὸν τῇ τε ποσότητι καὶ ποιότητι τῶν κώλων, ἔχουσα τῇ στροφῇ. ἐφ' ἧς τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι. ἡ μὲν ἐν ἀρχῇ. ἡ δὲ κατὰ τὸ τέλος. ἄλλως. Ἴακχ' ὦ πολυτιμήτοις.] μία τῶν μυστηρίων εἰκάς ἐστιν, ἐν ᾗ τὸν Ἴακχον ἐξάδουσι. πολυτιμήτοις δὲ ἐν ἕδραις, καθὸ συνίδρυται τῇ Δήμητρι ὁ Διόνυσος. εἰσὶ γοῦν οἵπερ φασὶν αὐτὸν Περσεφόνης εἶναι. οἱ δὲ, τῇ Δήμητρι συγγενέσθαι. ἄλλοι δὲ ἕτερον Διόνυσον εἶναι τὸν Ἴακχον. οἱ δὲ, τὸν αὐτόν. οἱ δέ φασι πολυτιμήτοις ἐν ἕδραις, καθὸ φιλοτιμότεροί εἰσιν ἐν ᾅδου οἱ μεμυημένοι, ὡς σαφὲς ποιεῖ ἐν Εἰρήνῃ. δεῖ γὰρ μυηθῆναί με, πρὶν τεθνηκέναι. Ἀνὰ λειμῶνα χορεύσων.] ἐν τῷ λειμῶνι τὰς χορείας ἐποιοῦντο, διὰ τὰ ἄνθη, χορεύοντες ἐν τῷ προφανεῖ ἐν χοροῦ σχήματι.

Bisetvs. Θιασώτας] Σουίδας τούτων μέμνηται, καὶ ταῦτα οὕτως ἑρμηνεύει. θίασος, ὁ ἱερὸς χορός καὶ θιασώτης, ὁ χορευτής. ἀπὸ τοῦ θεῖν, ὅ ἐστι θύειν. ὁ δὲ χορὸς ἀπὸ τοῦ συνελεύσεως. θέειν γὰρ τὸ τρέχειν. ἢ ἀπὸ τοῦ ἐνθουσιᾶν, ὅθεν θιασῶται κυρίως οἱ περὶ τὸν Διόνυσον. ὁ αὐτός. θίασος τὸ ἀθροιζόμενον πλῆθος ἐπὶ τέλει, καὶ τιμῇ θεοῦ. οὕτω Δημοσθένης, καὶ Ξενοφῶν. Ἴων δὲ ἐπὶ παντὸς ἀθροίσματος τάττει τοὔνομα. θιασῶται δὲ ἐκαλοῦντο οἱ κοινωνοῦντες τῶν θιάσων. Ἀθήναιος δὲ ἐν τῷ Η. τῶν δειπνοσοφ. περὶ τούτων ταῦτα λέγει. Ἔρανοι δέ εἰσιν αἱ ἀπὸ τῶν συμβαλλομένων εἰσαγωγαί, ἀπὸ τοῦ συνερᾶν, καὶ συμφέρειν ἕκαστον. καλεῖται δὲ ὁ αὐτὸς καὶ ἔρανος, καὶ θίασος, καὶ οἱ συνιόντες, ἐρανισταί, καὶ συνθιασῶται. καλεῖται δὲ καὶ ὁ τῷ Διονύσῳ παρεπόμενος ὄχλος, θίασος, ὡς Εὐριπίδης φησὶν, „Ὁρῶ θιάσους τρεῖς γυναικείων χορῶν. τοὺς μὲν οὖν θιάσους ἀπὸ θεοῦ προσηγόρευον. καὶ γὰρ αὐτοὺς τοὺς θεοὺς οἱ Λάκωνες σιοὺς φασι.

Σχόλια. Στέφανον μύρτων.] μυρσίνης στεφάνῳ ἐστεφανοῦντο οἱ μεμυημένοι. οὐχ ὥς τινες νομίζονται κισσίνῳ. ὁ δὲ Ἀπολλόδωρος καὶ τοὺς θεσμοθέτας φησὶ διὰ τὸ μυρσίνης στέφεσθαι. ὅτι οἰκείως ἔχει πρὸς τὸ φυτὸν ἡ θεός. καὶ ὅτι τοῖς χθονίοις ἀνιέρωτο. Ἀκόλαστον.] μανιώδη. βακχικήν. ὁσίαν. οὐ γὰρ δὴ αἰσχρὰν καὶ ἀσελγῆ. τὸ δὲ ἐγκαταχρούων πρὸς τὸ ὁσίοις μύσταις.

---

Bisetvs. Τριστοιχία ἰαμβικὴ παραγράφῳ τερματιζομένη.

Ξαν. Ὦ πότνια πολυτίμητε Δήμητρος κόρη,
Ὡς ἡδύ μοι προσέπνευσε χοιρείων κρεῶν.
Δι. Οὔκουν ἀτρέμ' ἕξεις, ἤν τι καὶ χορδῆς λάβῃς.

ΧΑ. O veneranda Cereris filia Proserpina:
Quàm suauis odor suillarum me afflat carniũ?
BA. Igitur acquiescas: dum aliquid intestini auferas.

Σχόλια. Χοιρείων κρεῶν.] παρόσον χοῖροι τῇ Δήμητρι καὶ τῷ Διονύσῳ ἐθύοντο ὡς λυμαντικοὶ τῶν θεοῖν δωρημάτων. εἰκότως δὲ ἐν ᾅδου ὢν ἐπιβοᾶται τὴν Περσεφόνην. Χορδῆς λάβῃς.] ἡ εἴλησις ἡ τῶν ἐντέρων, ἐστὶ χορδή. ἣν εἰλητὴν καλοῦμεν ἡμεῖς.

---

Bisetvs. Ἀντῳδὴ, καὶ ἀντιστροφὴ κώλων ιδ.

Χο. Ἔγειρε φλογέας λαμπάδας. ἐν χερσὶ γὰρ ἥκεις
Τινάσσων Ἴακχε,
Νυκτέρου τελετῆς φωσφόρος ἀστήρ
Φλογὶ, φέγγεται δὲ λειμών,
Γόνυ πάλλεται γερόντων,
Ἀποσείεται δὲ λύπας
Χρονίων τ' ἐτῶν,
Παλαιοὺς τ' ἐνιαυτοὺς,
Ἱερᾶς ὑπὸ τιμῆς.
Σὺ δὲ λαμπάδι φλέγων,
Προβάδην ἔξαγε πάνθηρον, ἕλειον δάπεδον,
Χοροποιὸν, μάκαρ ἥβαν.

CH. Faces flammiuomas tolle.
Venis namque manu ligna quassans Iacche:
Festi noctiuagi lucifer alta
Face, campus at refulget:
Genu senum mouetur:
Dolor omnis hinc fugatur:
Seniumque inertis aeui remouetur
Ab honore sacrato.
Age qui facem tenes,
Prai: & hanc instituentum
Choreas duc iuuenum,
Rigua hæc in loca, pubem.

Σχόλια. Ἔγειρε φλογέας.] τὸ ἑξῆς. ἔγειρε φλογέας λαμπάδας ἐν χερσὶ τινάσσων ἥκεις νυκτέρου τελετῆς φωσφόρος ἀστήρ. Φωσφόρος ἀστήρ.] τὸ μυστηριακὸν πῦρ, φωσφόρον λέγουσι. λέγει δὲ ἐπεὶ τὴν νύκτα λέγουσι αἰνιγματωδῶς, διὰ τὸ λαθεῖν τοὺς ἀμυήτους. ἢ ὅτι ἐν νυκτὶ ἄγεται τὰ μυστήρια. ἀξιοῦσι δέ τινες αὐτὴν τὴν λαμπάδα φωσφόρον ἀστέρα λέγειν. ὁ δὲ λόγος, κολοβός ἐστιν εἰ μὴ τὸ τινάσσων ἀντὶ τοῦ τινασσόμενος λαμβάνεται. ἐν δέ τισιν ἐκλέλοιπε τὸ τινάσσων. Ἴακχ' ὦ Ἴακχε ἀναλόγως τῇ στροφῇ γράφουσι καὶ τὸ χερσὶν εἰς τὸ ἔγειρε συνάπτουσιν. ἥκεις γὰρ κατὰ ἀναστροφήν. νύκτωρ δὲ ἐτελεῖτο τὰ μυστήρια. ὧν τῆς τελετῆς οὐ μόνον χορευτὴς ἀλλὰ καὶ ἔξαρχος ἦν ὁ Διόνυσος. καὶ μὲν δὴ Διονύσου ἐν Ἐλευσῖνι ἱερόν ἐστι καὶ ἐν Διονυσίοις ἐτελεῖτο τὰ μυστήρια. Φέγγεται δὲ λειμών.] λειμὼν γὰρ ἀνάκειται τοῖς μύσταις. δηλοῖ δὲ καὶ Σοφοκλῆς. Χρονίων τ' ἐτῶν.] εἰ μὲν οὕτω γράφεται ἰωνικόν ἐστι πενθημιμερὲς ἐκ παίωνος τρίτου ἀναλόγως τῷ ἐν τῇ στροφῇ ὀγδόῳ. εἰ δὲ χρόνους τ' ἐτῶν ὡς ἐν τοῖς πλείοσιν, ἰαμβικὴ ταυτοποδία. λέγει δὲ ὅτι διὰ τὴν χαρὰν νεάζουσιν οἱ γέροντες. ἡ δὲ δύναμις ἐν γόνασι. καὶ Ὅμηρος. θεῶν ἐν γούνασι κεῖται. Πάνθηρον ἕλειον.] προσληπτέον τὸ εἰς. ἔξαγε εἰς τὸ πάνθηρον καὶ ἕλειον δάπεδον. πάνθηρον δὲ παντοδαπῶν θηρίων δεκτικόν. τινὲς δὲ ἀναγινώσκουσιν ἐπ' ἄνθηρον.

Bisetvs. Πάνθηρον] βέλτιον ἐπ' ἄνθηρον γράφειν. καὶ